e | rara

**www.e-rara.ch**

# Diodori Siculi bibliothecae historicae quae supersunt

**Diodorus**

**Lipsiae, [17--]**

**ETH-Bibliothek Zürich**

Shelf Mark: Rar 8145

Persistent Link: https://doi.org/10.3931/e-rara-33647

Inhaltsverzeichnis

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗι ΕΠΤΑΚΑΙΔΕΚΑΤΗι
# ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ

---

## ΕΝ ΤΗι ΠΡΩΤΗι ΒΙΒΛΩι.
### Η ΤΩι ΠΡΩΤΩι ΤΜΗΜΑΤΙ.

Ὡς Ἀλέξανδρος διαδεξάμενος τὴν βασιλείαν, κατέστησε τὰ κατὰ τὴν ἀρχήν.
Ὡς τὰ νεωτερίζοντα τῶν ἐθνῶν ἀνεκτήσατο.
Ὡς Θήβας κατασκάψας, καὶ φόβον ἐπιστήσας τοῖς Ἕλλησι, στρατηγὸς αὐτοκράτωρ τῆς Ἑλλάδος ᾑρέθη.
Ὡς διαβὰς εἰς τὴν Ἀσίαν, τοὺς σατράπας ἐνίκησε περὶ τὸν ἐν Φρυγίᾳ Γρανικὸν ποταμόν.
Ὡς Μίλητον καὶ Ἁλικαρνασσὸν ἐξεπολιόρκησε.
Μάχη Δαρείου πρὸς Ἀλέξανδρον ἐν Ἰσσῷ τῆς Κιλικίας, καὶ νίκη Ἀλεξάνδρου.
Τύρου πολιορκία, καὶ Αἰγύπτου παράληψις, καὶ πάροδος εἰς Ἄμμωνα τοῦ βασιλέως.

Παράταξις ἐν Ἀρβήλοις Ἀλεξάνδρου πρὸς Δαρεῖον, καὶ νίκη Ἀλεξάνδρου.

Μάχη Ἀντιπάτρου πρὸς Λακεδαιμονίους, καὶ νίκη Ἀντιπάτρου.

## ΕΝ ΤΗι ΔΕΥΤΕΡΑι ΒΙΒΛΩι

### Η ΤΩι ΔΕΥΤΕΡΩι ΤΜΗΜΑΤΙ.

Ἀρβήλων ἅλωσις ὑπ᾽ Ἀλεξάνδρου, καὶ κατάληψις πολλῶν χρημάτων.

Ἀνάληψις τῆς δυνάμεως ἐν Βαβυλῶνι, καὶ δωρεαὶ τοῖς ἀνδραγαθήσασι.

Παρουσία τῶν ἀποσταλέντων μισθοφόρων καὶ συμμάχων.

Διάταξις καὶ κατασκευὴ τῆς δυνάμεως.

Ὡς Ἀλέξανδρος παρέλαβε Σοῦσαν καὶ τοὺς ἐν αὐτῇ θησαυρούς.

Ὡς τῶν παρόδων ἐγκρατὴς ἐγένετο, καὶ τῶν ὀνομαζομένων πυλῶν ἐκράτησεν.

Ὡς τοὺς ἀκρωτηριασθέντας Ἑλλήνων εὐεργέτησε, καὶ τὴν Περσέπολιν παραλαβὼν διήρπασεν.

Ὡς κωμάσας ἐνέπρησε τὰ βασίλεια.

Δαρείου θάνατος ὑπὸ Βήσσου.

Ἀλεξάνδρου στρατεία εἰς τὴν Ὑρκανίαν, καὶ τῶν ἐν αὐτῇ φυομένων παραδόξων ἀπαγγελία.

Ὡς Ἀλέξανδρος ἐπὶ Μάρδους στρατεύσας, κατεπολέμησε τὸ ἔθνος.

Ὡς Θάληστρις ἡ τῶν Ἀμαζονίδων βασιλεύουσα συνέμιξεν Ἀλεξάνδρῳ.

Ὡς ὁ βασιλεὺς ἀνίκητον ἑαυτὸν εἶναι νομίσας, ἐζήλωσε τὴν τῶν Περσῶν τρυφήν.
Στρατεία Ἀλεξάνδρου πρὸς τοὺς ἀφεστηκότας Ἀρείους, καὶ ἅλωσις τῆς Πέτρας.
Ἐπιβουλὴ τοῦ βασιλέως, καὶ κόλασις τῶν ἐπιθεμένων, ὧν οἱ ἐπιφανέστατοι Παρμενίων καὶ Φιλώτας.
Στρατεία Ἀλεξάνδρου εἰς τοὺς Παροπαμισάδας, καὶ τὰ πραχθέντα κατ' αὐτήν.
Ἡ γενομένη ἐν Ἀρείοις μονομαχία, καὶ παράληψις τοῦ ἔθνους.
Βήσσου τοῦ ἀνελόντος Δαρεῖον θάνατος.
Ὡς Ἀλέξανδρος διὰ τῆς ἀνύδρου πορευθεὶς πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν.
Ὡς τοὺς Βραγχίδας, τὸ παλαιὸν ὑπὸ Περσῶν μετοικισθέντας εἰς τὰ ἔσχατα τῆς βασιλείας, ὡς προδότας τῶν Ἑλλήνων ἀνεῖλεν Ἀλέξανδρος.
Ὡς ὁ βασιλεὺς ἐπὶ Σογδιανοὺς καὶ Σκύθας ἐστράτευσεν.
Ὡς οἱ πρωτεύοντες Σογδιανῶν ἀπαγόμενοι πρὸς θάνατον παραδόξως ἐσώθησαν.
Ὡς Ἀλέξανδρος ἀποστάντας τοὺς Σογδιανοὺς κατεπολέμησε, καὶ κατέσφαξεν αὐτῶν πλείους τῶν δώδεκα μυριάδων.
Ὡς Βακτριανοὺς ἐκόλασε, καὶ Σογδιανοὺς τὸ δεύτερον ἐχειρώσατο, καὶ πόλεις ἔκτισεν εὐκαίρως πρὸς τὰς τῶν ἀφισταμένων κολάσεις.
Ἀπόστασις τρίτη Σογδιανῶν, καὶ ἅλωσις τῶν εἰς τὴν Πέτραν καταφυγόντων.

Περὶ τοῦ ἐν Βασίστοις κυνηγίου, καὶ τοῦ πλήθους τῶν ἐν αὐτῷ θηρίων.
Περὶ τῆς εἰς τὸν Διόνυσον ἁμαρτίας, καὶ τῆς παρὰ τὸν πότον ἀναιρέσεως Κλείτου.
Περὶ τῆς Καλλισθένους τελευτῆς.
Στρατεία τοῦ βασιλέως εἰς τοὺς καλουμένους Ναύτακας, καὶ φθορὰ τῆς δυνάμεως ὑπὸ πολλῆς χιόνος.
Ὡς Ἀλέξανδρος ἐρασθεὶς Ῥωξάνης τῆς Ὀξυάρτου, ἔγημεν αὐτὴν, καὶ τῶν φίλων πολλοὺς ἔπεισε γῆμαι τὰς τῶν ἐπισήμων Βαρβάρων θυγατέρας.
Παρασκευὴ τῆς ἐπὶ Ναύτακας τοὺς Ἰνδοὺς στρατείας.
Ἐμβολὴ εἰς τὴν Ἰνδικὴν, καὶ ἀναίρεσις ἄρδην τοῦ πρώτου ἔθνους, πρὸς κατάπληξιν τῶν ἄλλων.
Ὡς τὴν Νυσίαν ὀνομαζομένην πόλιν εὐεργέτησε, διὰ τὴν ἀπὸ Διονύσου συγγένειαν.
Ὡς Μάσσακα πόλιν ὀχυρὰν ἐκπορθήσας, τοὺς μισθοφόρους ἅπαντας λαμπρῶς ἀγωνισαμένους κατέκοψεν.
Ὡς τὴν Ἄορνον καλουμένην Πέτραν, ἀνάλωτον ἀεὶ γεγενημένην, ἐξεπολιόρκησεν.
Ὡς Ταξίλην μὲν τὸν βασιλέα τῶν Ἰνδῶν προσηγάγετο, Πῶρον δὲ μεγάλῃ παρατάξει νικήσας, καὶ τοῦ σώματος κρατήσας, ἀπέδωκε τὴν βασιλείαν αὐτῷ δι' ἀνδραγαθίαν.
Ἀπαγγελία τῶν κατὰ τὴν χώραν παραδόξων ὄφεών τε καὶ τῶν φυομένων καρπῶν.
Ὡς τὰ πλησιόχωρα τῶν ἐθνῶν τὰ μὲν προσηγάγετο, τὰ δὲ κατεπολέμησεν.
Ὡς τὴν ὑπὸ Σωπείθην τεταγμένην ἐχειρώσατο.

Περὶ τῆς εὐνομίας τῶν ἐν ταύτῃ τῇ χώρᾳ πόλεων.

Περὶ τῆς ἀρετῆς τῶν δωρηθέντων Ἀλεξάνδρῳ κυνῶν.

Περὶ τῆς ἀφηγήσεως τοῦ Ἰνδῶν βασιλέως.

Ὡς τοῦ Ἀλεξάνδρου βουλομένου διαβῆναι τὸν Γάγγην ποταμόν, καὶ στρατεύειν ἐπὶ τοὺς Γανδαρίδας ὀνομαζομένους, οἱ Μακεδόνες οὐχ ὑπήκουσαν.

Ὡς ὅρια θέμενος τῆς στρατείας ὁ βασιλεύς, ἐπῆλθε τὰ λοιπὰ τῶν Ἰνδῶν, καὶ τοξευθεὶς ἐκινδύνευσεν.

Ὡς διὰ τοῦ Ἰνδοῦ ποταμοῦ κατέπλευσεν ἐπὶ τὸν κατὰ μεσημβρίαν Ὠκεανόν.

Περὶ τῆς γενομένης μονομαχίας ἐκ προκλήσεως.

Περὶ τῶν καταπολεμηθέντων Ἰνδῶν ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ ποταμοῦ, μέχρι τοῦ Ὠκεανοῦ.

Περὶ τῶν παραδόσεων καὶ νομίμων παρὰ τοῖς ἐγχωρίοις, καὶ τῶν θηριώδη βίον ἐχόντων.

Ὡς οἱ τὸν Ὠκεανὸν πλεύσαντες συνέμιξαν Ἀλεξάνδρῳ παρὰ θάλατταν ἐστρατοπεδευκότι, καὶ τὰ κατὰ τὸν πλοῦν ἀπήγγειλαν.

Ὡς πάλιν ἐκπλεύσαντες πολλὴν τῆς παραθαλαττίας χώρας παρέπλευσαν.

Ὡς τῶν Περσῶν τρισμυρίους νεανίσκους ἐπιλέξας, καὶ παιδεύσας τὰ πολεμικὰ τῶν ἔργων, ἀντίταγμα κατεσκεύασε τῇ Μακεδονικῇ φάλαγγι.

Ὡς Ἅρπαλος διὰ τὴν τρυφὴν καὶ τὰς ὑπερβολὰς τῶν δαπανημάτων διαβληθείς, ἔφυγεν ἐκ Βαβυλῶνος, καὶ τοῦ δήμου τῶν Ἀθηναίων ἱκέτης ἐγένετο.

Ὡς διαδρὰς ἐκ τῆς Ἀττικῆς ἀνῃρέθη, καὶ τῶν χρημάτων ἑπτακόσια μὲν τάλαντα παρέθετο τοῖς Ἀθηναίοις, τετρακισχίλια δὲ καὶ μισθοφόρους ὀκτα-

κισχιλίους περὶ Ταίναρον τῆς Λακωνικῆς ἀπέλιπεν.
Ὡς Ἀλέξανδρος τοὺς γεγηρακότας τῶν Μακεδόνων χρεολυτήσας, καὶ καταναλώσας μύρια τάλαντα, ἀπέλυσεν εἰς τὰς πατρίδας.
Ὡς στασιαζόντων τῶν Μακεδόνων ἐκόλασε τοὺς αἰτίους.
Ὡς Πευκέστης ἤγαγε πρὸς Ἀλέξανδρον ἐκ τῶν Περσῶν ἐπιλέξας τοξότας καὶ σφενδονήτας μυρίους.
Ὡς τὰς τάξεις ὁ βασιλεὺς ἐποίησεν, ἀναμίξας τοῖς Μακεδόσι τοὺς Πέρσας.
Ὡς τοῖς ἐπιγόνοις παισὶ, μυρίοις οὖσι, τὰς δαπάνας καὶ παιδείας μισθοὺς ἅπασιν ἐχορήγει.
Ὡς Λεωσθένης ἤρξατο κινεῖν τὸν πρὸς Λακεδαιμονίους πόλεμον.
Ὡς Ἀλέξανδρος ἐπὶ Κοσσαίους ἐστράτευσεν.
Ὡς πορευομένου τοῦ βασιλέως εἰς Βαβυλῶνα, προεῖπον οἱ Χαλδαῖοι τῷ Ἀλεξάνδρῳ τελευτήσειν αὐτὸν, ἐὰν εἰς τὴν Βαβυλῶνα εἰσέλθῃ.
Ὡς ὁ βασιλεὺς ἐν ἀρχῇ μὲν κατεπλάγη, καὶ παρήλλαξε τὴν Βαβυλῶνα· ὕστερον δὲ ὑπὸ τῶν Ἑλληνικῶν φιλοσόφων πεισθεὶς, κατήντησεν εἰς τὴν πόλιν.
Περὶ τοῦ πλήθους τῶν παραγενομένων πρεσβειῶν.
Περὶ τῆς Ἡφαιστίωνος ταφῆς, καὶ τοῦ πλήθους τῶν εἰς αὐτὴν δαπανηθέντων χρημάτων.
Περὶ τῶν σημείων τῶν γεγενημένων Ἀλεξάνδρῳ, καὶ τῆς τελευτῆς αὐτοῦ.